# ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ

16

# Ἀκολουθία
# Εἰς Ἀρχάριον
# Κειρόμενον ϗ Ρασοφοροῦντα

ΕΚΔΟΣΕΙΣ
ΙΕΡΑΣ ΜΟΝΗΣ
ΑΓΙΩΝ ΚΥΠΡΙΑΝΟΥ ΚΑΙ ΙΟΥΣΤΙΝΗΣ
ΦΥΛΗ ΑΤΤΙΚΗΣ
2013

ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ

16

# Ἀκολουθία
## Εἰς Ἀρχάριον
## Κειρόμενον ϗ Ρασοφοροῦντα

# Περιεχόμενα


| | | |
|---|---|---|
| ● | Εἴδησις | 5 |
| Α΄. | Ἔναρξις | 6 |
| Β΄. | Ἀπολυτίκια | 8 |
| Γ΄. | Δεήσεις καὶ Εὐχαὶ | 9 |
| Δ΄. | Ἔνδυσις | 13 |
| Ε΄. | Ἀπόλυσις | 14 |





✠


© Ἱερὰ Μονὴ Ἁγίου Κυπριανοῦ


Φυλὴ Ἀττικῆς
Α.Γ. 112 - 133 51 ΦΥΛΗ GREECE
Ἀριθμ. Τηλεφ. Κλήσεως: 210 24 11 380
Τηλεαντίγραφα (Telefax): 210 24 11 080
E-mail : kyprianos@synodinresistance.org
Ἱστοσελίδα: http://www.synodinresistance.org

# ΑΚΟΛΟΥΘΙΑ
# ΕΙΣ ΑΡΧΑΡΙΟΝ
# ΚΕΙΡΟΜΕΝΟΝ ϗ ΡΑΣΟΦΟΡΟΥΝΤΑ

## Εἴδησις

Τῆς Δοκιμασίας συμπληρωθείσης αἰσίως, χάριτι Θεοῦ, ὁ Ἀρχάριος εἰσέρχεται πλέον εἰς τὸ στάδιον τῆς Ἀγγελικῆς Πολιτείας, εἴτε διὰ ἁπλῆς Κουρᾶς καὶ Ρασοφορίας, κατὰ τὴν ὧδε «Ἀκολουθίαν εἰς Ἀρχάριον Κειρόμενον καὶ Ρασοφοροῦντα», εἴτε διὰ τῆς λήψεως ἀπ᾽ εὐθείας τοῦ Μεγάλου καὶ Ἀγγελικοῦ Σχήματος.

**Εἰς** τὴν γνωστὴν ὑφισταμένην «Ἀκολουθίαν εἰς Ἀρχάριον Ρασοφοροῦντα» προσετέθησαν στοιχεῖά τινα, ὥστε νὰ ἀποτελῇ αὕτη μίαν ὄντως Ἀκολουθίαν, ἀξίαν πως τῆς λίαν σημαντικῆς ταύτης στιγμῆς διὰ τὸν κειρόμενον Ἀρχάριον.

**Ἰστέον,** ὅτι αὕτη ἡ «Ἀκολουθίαν εἰς Ἀρχάριον Κειρόμενον καὶ Ρασοφοροῦντα» δύναται νὰ τελεσθῇ καὶ αὐτοτελῶς ὡς ἐφ᾽ ἑξῆς, εἰ δὲ καὶ συναφθῇ τῷ Ἑσπερινῷ ἢ τῷ Ὄρθρῳ, πρὸ τῆς Ἀπολύσεως αὐτῶν, ἄρχεται ἀπ᾽ εὐθείας διὰ τῶν προβλεπομένων Τροπαρίων.

# Α΄. ΕΝΑΡΞΙΣ

**Ὁ Διάκονος·**

Εὐλόγησον, Δέσποτα!

**Ὁ Ἱερεύς·**

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε˙ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων!

**Ὁ Χορός·**

Ἀμήν!

**Ὁ Ἱερεύς·**

Δόξα Σοι, ὁ Θεὸς ἡμῶν, δόξα Σοι!

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

**Ὁ Ἀναγνώστης·**

Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. **(γ΄)**

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν· Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός Σου.

Κύριε, ἐλέησον. (γʹ)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά Σου· ἐλθέτω ἡ βασιλεία Σου· γενηθήτω τὸ θέλημά Σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

**Ὁ Ἱερεύς·**

Ὅτι Σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ Χορός·**

Ἀμήν!

* * *

# Β′. ΑΠΟΛΥΤΙΚΙΑ

Εἶτα ὁ Χορὸς ψάλλει τὰ ἑξῆς Τροπάρια·

**Ἀπολυτίκιον**
τοῦ Ἁγίου, ἐν ᾧ τιμᾶται ἡ Ἱερὰ Μονὴ

**Ἀπολυτίκια**
Πάντων τῶν ἐν Ἀσκήσει λαμψάντων
Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν

Ἦχος δ΄.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ᾿ ἡμῶν, κατὰ τὴν Σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός Σου ἀφ᾿ ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Ἕτερον. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὸ πολυσύνθετον, Πατέρων σύστημα, ἀνευφημήσωμεν, ἐνθέοις ᾄσμασι, τοὺς ἐν Ἑώᾳ καὶ Βορρᾷ, καὶ Ἄρκτῳ καὶ Μεσημβρίᾳ, ἐν ἀσκήσει λάμψαντας, καὶ Θεὸν θεραπεύσαντας, ἀρετῶν ἀκρότητι, καὶ θαυμάτων δυνάμεσι, γνωστοὺς καὶ ἀνωνύμους καὶ πάντας, οὕς ὁ Χριστὸς λαμπρῶς ἐδόξασε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον. Ἦχος γ΄.

Ἕκαστος ὅπου σῴζεται, ἐκεῖ δικαίως καὶ προστρέχει· καὶ ποία ἄλλη τοιαύτη καταφυγὴ ὡς Σὺ Θεοτόκε, σκέπουσα τὰς ψυχὰς ἡμῶν;

* * *

## Γ'. ΔΕΗΣΕΙΣ ΚΑΙ ΕΥΧΑΙ

Τούτων ψαλλομένων, ὁ μελλόκουρος, προσκυνήσας τὰς ἱερὰς Εἰκόνας καὶ λαβὼν συγχώρησιν ἔκ τε τοῦ Ἡγουμένου καὶ τῆς Ἀδελφότητος, ἵσταται πρὸ τῆς Ὡραίας Πύλης ἔναντι τοῦ Ἱερέως, οὗτος δὲ σφραγισάμενος τρὶς ἐπὶ τῇ κεκλειμένῃ κεφαλῇ αὐτοῦ, λέγει·

Εἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν!

Ἐν συνεχείᾳ, ὁ Ἱερεὺς ἐπιτίθησι τὸ ἱερὸν Ἐπιτραχήλιον τῇ κεφαλῇ τοῦ προσερχομένου, ἔχων δὲ τὴν δεξιὰν χεῖρα ἐπικειμένην αὐτῷ, ποιοῦνται αἱ ἑξῆς δεήσεις.

**Ὁ Διάκονος·**

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον. (γʹ)

Ἔτι δεόμεθα, ὑπὲρ ἐλέους ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν, τοῦ δούλου τοῦ Θεοῦ **(δεῖνος)**, Δοκίμου Μοναχοῦ.

Κύριε, ἐλέησον. (γʹ)

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ διαφυλαχθῆναι αὐτὸν ἐν ἀμέμπτῳ βιοτῇ καὶ πολιτείᾳ, εἰς δόξαν τοῦ Ὀνόματος τοῦ Θεοῦ ἡμῶν.

Κύριε, ἐλέησον. (γʹ)

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ ῥυσθῆναι αὐτόν τε καὶ ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης.

Κύριε, ἐλέησον. (γʹ)

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον αὐτόν τε καὶ ἡμᾶς, ὁ Θεὸς τῇ Σῇ χάριτι.

Κύριε, ἐλέησον. (γʹ)

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Ὁ Διάκονος·**

Τοῦ Κυρίου, δεηθῶμεν!

**Ὁ Χορός·**

Κύριε, ἐλέησον.

**Ὁ Ἱερεύς·**

## Εὐχὴ
## Εἰς Ἀρχάριον
## Κειρόμενον καὶ Ρασοφοροῦντα

Εὐχαριστοῦμέν Σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κατὰ τὸ πολὺ ἔλεός Σου ρυσάμενος τὸν δοῦλόν Σου **(δεῖνα-βαπτιστικὸν ὄνομα)** ἐκ τῆς ματαίας τοῦ κόσμου ζωῆς, καὶ καλέσας αὐτὸν εἰς τὸ σεμνὸν τοῦτον ἐπάγγελμα.

Ἀξίωσον οὖν αὐτὸν ζῆσαι ἀξίως ἐν τῇ Ἀγγελικῇ Πολιτείᾳ ταύτῃ· καὶ φύλαξον αὐτὸν ἐκ τῶν παγίδων τοῦ διαβόλου· καὶ καθαρὰν αὐτοῦ τὴν ψυχὴν καὶ τὸ σῶμα διατήρησον ἕως θανάτου· καὶ ναὸν ἅγιόν Σου γενέσθαι καταξίωσον· συνέτισον αὐτὸν μνημονεύειν Σου διὰ παντός, καὶ τὴν τῶν Σῶν προσταγμάτων ταπείνωσιν, καὶ ἀγάπην, καὶ πρᾳότητα δώρησαι αὐτῷ.

Πρεσβείαις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας, καὶ πάντων Σου τῶν Ἁγίων. Ἀμήν!

## Εὐχὴ ἑτέρα

**Ὁ Διάκονος·**

Τοῦ Κυρίου, δεηθῶμεν!

**Ὁ Χορός·**

Κύριε, ἐλέησον.

**Ὁ Ἱερεύς·**

Εἰς τὸν ζυγόν Σου, Δέσποτα, τὸν σωτήριον, πρόσδεξαι τὸν δοῦλόν Σου (δεῖνα-μοναχικὸν ὄνομα), καὶ καταξίωσον αὐτὸν ἐν τῇ ποίμνῃ συνταγῆναι τῶν ἐκλεκτῶν Σου.

Ἔνδυσον αὐτὸν ἁγιασμοῦ στολήν· σωφροσύνῃ περίζωσον τὴν ὀσφὺν αὐτοῦ· πάσης αὐτὸν ἐγκρατείας ἀνάδειξον ἀγωνιστήν· ἐν αὐτῷ καὶ ἐν ἡμῖν τὴν τῶν πνευματικῶν Σου χαρισμάτων τελείαν δωρεὰν ἐναπομένειν ἀξίωσον.

Πρεσβείαις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας, καὶ πάντων Σου τῶν Ἁγίων. Ἀμήν!

Εἶτα, παραλαμβάνει παρὰ τοῦ Ἡγουμένου τὸ ψαλίδιον, καὶ κείρει τὴν κόμην αὐτοῦ σταυροειδῶς, λέγων·

Εἰς τὸ Ὄνομα τοῦ Πατρός. Ἀμήν!
Καὶ τοῦ Υἱοῦ. Ἀμήν!
Καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν!

Εἴπωμεν ὑπὲρ αὐτοῦ τό, Κύριε ἐλέησον!

**Ὁ Χορός·**

Κύριε, ἐλέησον. (γʹ)

* * *

## Δʹ. ΕΝΔΥΣΙΣ

Ἐν συνεχείᾳ, ὁ Ἱερεὺς παραλαμβάνει παρὰ τοῦ Ἡγουμένου τὰ ἐν κανίστρῳ ἐνώπιον τῆς Εἰκόνος τοῦ Δεσπότου ἡμῶν Χριστοῦ εὑρισκόμενα ἐξ' ἀρχῆς ἐνδύματα, ἤτοι τὸ Παλλίον (Ἐξώρασον) καὶ τὸ Καμελλαύκιον μετὰ τοῦ Κουκουλλίου, εὐλογῶν δὲ ταῦτα, παραδίδει τῷ προσερχομένῳ πρὸς ἔνδυσιν·

Ἐνδυομένου δὲ αὐτοῦ, ὁ Χορὸς ψάλλει τὸ ἑξῆς Ἰδιόμελον.

Ἦχος αʹ

Ἐπιγνῶμεν Ἀδελφοί, τοῦ Μυστηρίου τὴν δύναμιν· τὸν γὰρ ἐκ τῆς ἁμαρτίας, πρὸς τὴν Πατρικὴν Ἑστίαν, ἀναδραμόντα Ἄσωτον Υἱόν, ὁ πανάγαθος Πατήρ, προϋπαντήσας ἀσπάζεται, καὶ πάλιν τῆς ἰδίας Δόξης, χαρίζεται τὰ γνωρίσματα, καὶ μυστικὴν τοῖς ἄνω ἐπιτελεῖ εὐφροσύνην, θύων τὸν Μόσχον τὸν σιτευτόν, ἵνα ἡμεῖς ἀξίως πολιτευσώμεθα, τῷ τε θύσαντι φιλανθρώπῳ Πατρί, καὶ τῷ ἐνδόξῳ θύματι, τῷ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Μετὰ τὸ τέλος τῆς ἐνδύσεως, ὁ Ἱερεὺς ἀσπάζεται αὐτόν, εὐχόμενος τοῦ ἀξιωθῆναι αὐτὸν συντόμως καὶ τοῦ Μεγάλου Ἀγγελικοῦ Σχήματος.

* * *

## Ε΄. ΑΠΟΛΥΣΙΣ

**Ὁ Ἱερεύς·**

Δόξα Σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι!

**Ὁ Ἀναγνώστης·**

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

Κύριε, ἐλέησον. (γ΄)

Πάτερ ἅγιε, εὐλόγησον!

**Ὁ Ἱερεύς·**

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ Μητρός˙ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ˙ προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων˙ ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου˙ τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων˙ τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων˙ τῶν ὁσίων

καὶ θεοφόρων Πατέρων ἡμῶν· τοῦ Ἁγίου (τάδε - τοῦ Ναοῦ)· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ Ἁγίου (τάδε - τῆς ἡμέρας), οὗ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς!

**Ὁ Χορός·**

Ἀμήν!

---

● ***Παλλίον*** καὶ ***Πάλλιον·*** Χιτών, Ἐξώρασον, Ἐπενδύτης, Ἐπανωφόριον (λατ. pallium, palla).

● ***Καμελλαύκιον*** (λατ. camelaucium, camella, εἶδος ποτηρίου)· ἐκ παρετυμολογίας: Καμηλλαύκιον (καμήλα, camelus), Καλυμμαύχιον (καλυμμαύκι, κάλυμμα + αὐχένα).

● ***Κουκούλλιον·*** κάλυμμα κεφαλῆς, κουκούλλα (λατ. cuculla).

✠

**Τῷ δὲ ἐν Τριάδι**
**Παναγίῳ καὶ Φιλανθρώπῳ Θεῷ ἡμῶν**
**δόξα, τιμή, προσκύνησις**
**καὶ εὐχαριστία.**
**Ἀμήν!**

